ἡγεμὼν ἐν ἰδίοις ὤφθη βιβλίοις, τῶν μὲν εἰς τὴν ἱερὰν θεολογίαν, τῶν δὲ εἰς τὴν ἀριστοτελικὴν φιλοσοφίαν ἀναγομένων· οἷς πᾶσι σχεδὸν ἡμεῖς ἐνετύχομεν, ὀλίγοις μὲν τοῖς ἑρμηνευθεῖσιν ὑπ' ἄλλων πρότερον εἰς τὴν τῶν Ἑλλήνων φωνήν, ἐν οἷς καὶ τὰ ἐνταῦθα ἐπιτετμημένα βιβλία εἰσί, τοῖς σύμπασι δὲ ἐν τοῖς λατινικοῖς πρωτοτύποις, ὧν ἔνια καὶ ἡμεῖς εἰς τὴν ἡμετέραν φωνὴν ἡρμηνεύσαμεν. Ἀλλ' ἅπας ἡμῖν, φεῦ, ὁ περὶ τὰ τοιαῦτα πόνος μάταιος ἦν, τῇ πατρίδι συναπολεῖσθαι μέλλων καὶ συναπολωλεκὼς διὰ τὴν ἔκκαυσιν τῆς ἡμετέρας κακίας, οὐκέτι δυναμένης τῆς θείας ἐλεημοσύνης πρὸς τὴν αὐτοῦ δικαιοσύνην ἀντέχειν. Ἐν πᾶσι μὲν οὖν σπουδαστέος ὁ σοφὸς οὗτος ἀνήρ, ὡς ἄριστος τῆς χριστιανικῆς θεολογίας ἐξηγητὴς καὶ συνόπτης, ἐν οἷς καὶ ἡ ἐκκλησία αὐτοῦ τῇ ἡμετέρᾳ ἐκκλησίᾳ συνᾴδει· ἐν οἷς δὲ ἐκείνη τε καὶ αὐτὸς πρὸς ἡμᾶς διαφέρετον, ὀλίγα δ' εἰσίν, περί τε τῆς τοῦ Πνεύματος ἐκπορεύσεως δηλονότι καὶ τῆς θείας οὐσίας καὶ ἐνεργείας, ὅπως τε ἑνοῦνται καὶ πῶς διαφέρουσιν, περὶ τούτων οὐχ ἁπλῶς μόνον ἡμεῖς τῇ πατρίῳ δόξῃ μᾶλλον τιθέμεθα, ἀλλὰ καὶ ταύτης πολλοῖς βιβλίοις ὑπερηγωνισάμεθα. Φανερὰ δὲ πᾶσιν ἀνθρώποις, καὶ φίλοις καὶ πολεμίοις, ἡ πρὸς τὰ πάτρια δόγματα σπουδὴ ἡμῶν μέχρις αἵματος, καὶ τὰ πρὸς τοὺς ἀντιδοξοῦντας ἡμῖν συγγεγραμμένα βιβλία πανταχοῦ τῆς γῆς ἐξηπλώθησαν ἐκγραφέντα. Καὶ δόξα τῷ Θεῷ περὶ πάντων: †

# *LIVRE PREMIER.*

## Dieu en lui-même.

f. 8

### *ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.*

### I. — Προοίμιον.

„Ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελλυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ, τὰ δὲ χείλη μου ἐλέγξει τὸν ἀσεβῆ“, φησὶν ἐν ἐννάτῳ τῶν Παροιμιῶν Σολομών. Ἡ κοινὴ τῶν πολλῶν δόξα, ἥπερ ἐν τοῖς ἀξιολογωτέροις δεῖν ἀκολουθεῖν ὁ σοφὸς ἀποφαίνεται, σοφοὺς ἀξιοῖ λέγεσθαι τοὺς ὀρθῶς τὰ πράγματα τάττοντας, καὶ ταῦτα καλῶς διοικοῦντας· ὅθεν μετὰ τῶν ἄλλων ἃ περὶ τοῦ σοφοῦ νομίζουσιν ἄνθρωποι, καὶ τοῦτο τίθησιν ὁ Φιλόσοφος, ὅτι τοῦ σοφοῦ τὸ τάττειν ἐστίν· τῶν δὲ πρός τι τέλος τεταγμένων ἁπάντων τῆς τε διοικήσεως καὶ τῆς τάξεως τὸν κανόνα ἀπὸ τοῦ τέλους ἀνάγκη λαμβάνεσθαι· τότε γὰρ τῶν πραγμάτων ἕκαστον ἄριστα διατίθεται, ὅταν ἁρμοζόντως πρὸς τὸ οἰκεῖον τάττηται τέλος· τὸ γὰρ ἑκάστου ἀγαθόν, τὸ τέλος ἐστίν. Οὕτως ἰατρία

---

4 *βιβλία* en marge A   28 Prov. 8, 7

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ἄρχει τῆς τῶν φαρμάκων σκευαστικῆς· ἡ γὰρ ὑγίεια, ἧς στοχάζεται ἰατρική, τῶν φαρμάκων τέλος ἐστίν, ἃ τῇ σκευαστικῇ τῶν φαρμάκων γίνεται· καὶ κυβερνητικὴ πρὸς τὴν ναυπηγικὴν ἔχει ὁμοίως· καὶ ἡ στρατιωτικὴ τῆς ἱππικῆς ἄρχει καὶ συμπάσης τῆς τοῦ πολέμου παρασκευῆς· αἱ τοιαῦται δὲ ἀρχιτεκτονικαὶ καλοῦνται· καὶ οἱ μετιόντες, ἀρχιτέκτονες καὶ σοφοί· σοφοὶ δὲ οὐχ ἁπλῶς, ἀλλὰ κατὰ τόδε ἢ τόδε, ὡς ἐν τῇ πρὸς Κορινθίους· „Ὡς σοφὸς ἀρχιτέκτων, θεμέλιον τέθεικα“· ἁπλῶς δὲ σοφός, οὗ ἡ σπουδὴ περὶ τὸ καθόλου στρέφεται τέλος, ὅπερ ἡ πάντων ἐστὶν ἀρχή. Ὅθεν ὁ Φιλόσοφος φησίν, ὅτι σοφοῦ ἐστι τὰς ἀνωτάτω σκοπεῖν αἰτίας.

Ἐπεὶ δὲ δεῖ τὸ ἑκάστου ἔσχατον τέλος εἶναι, ὅπερ τὸ πρώτως κινοῦν καὶ ἐργαζόμενον σκοπεῖ, νοῦς δέ ἐστι τὸ τοῦ παντὸς κινητικὸν καὶ ποιητικόν, ὡς δειχθήσεται, καὶ διὰ τοῦτο τὸ τοῦ νοῦ τέλος ἔσχατον τοῦ παντός ἐστι τέλος, τοῦτο δέ ἐστιν ἀλήθεια, ἡ ἀλήθεια τοῦ παντός ἐστι τέλος ἔσχατον· καὶ ἡ σοφία περὶ τὴν ἀλήθειαν συνέστηκεν ἀρχικώτερον· διὸ πρὸς τὴν τῆς ἀληθείας φανέρωσιν, καὶ ἡ θεία σοφία, σάρκα ἐνδῦσα, ἑαυτὴν ἐληλυθέναι μαρτυρεῖ, λέγουσα· „Ἐγὼ εἰς τοῦτο γεγέννημαι | καὶ f. 8v
εἰς τοῦτο ἐλήλυθα, ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ“. Καὶ ἡ πρώτη φιλοσοφία, κατὰ τὸν Φιλόσοφον, σοφία ἐστὶ περὶ τὴν ἀλήθειαν· ἥτις αἰτία πάσης ἀληθείας ἐστί, τῇ πρώτῃ ἀρχῇ τοῦ εἶναι πάντα ἀνήκουσα· τοῦ δ' αὐτοῦ ἐστι θάτερόν τε τῶν ἐναντίων προσίεσθαι καὶ τὸ λοιπὸν ἀπωθεῖσθαι· καὶ διὰ τοῦτο ὁ φιλόσοφος τὴν ἀλήθειαν μάλιστα περὶ τὴν πρώτην ἀρχὴν μελετῶν καὶ τοῖς ἄλλοις διασαφῶν, καὶ πολεμήσει τῷ ψεύδει. Εἰκότως οὖν ἐκ τοῦ στόματος τῆς σοφίας διπλῆ ἡ τοῦ σοφοῦ πρόθεσις δέδεικται· ἥ τε τῆς ἀληθείας μελέτη καὶ ὁ πρὸς τὴν κατὰ τῆς ἀληθείας πλάνην πόλεμος· ἥτις δὴ πλάνη καὶ ἀσέβεια καλοῖτ' ἄν, ὥσπερ ἡ ἀλήθεια εὐσέβεια ὀνομάζεται.

## II. — Τίς ὁ τοῦ ποιητοῦ σκοπός.

Ἡ δὴ περὶ τὴν σοφίαν σπουδὴ τῶν ἄλλων ἀνθρωπίνων σπουδασμάτων τελειότερον μέν, ὅτι ἡ εἰς τὴν σοφίαν προκοπὴ καὶ εἰς τὴν ἀληθῆ μακαριότητα ἐστὶ προκοπὴ ἀναλόγως, ὡς ἐν τῷ Ἐκκλησιαστῇ φησιν ὁ σοφός· „Μακάριος ἀνὴρ ὁ ἐν σοφίᾳ διατρίβων“· ὑψηλότερον δέ, ὅτι διὰ ταύτης ὁ ἄνθρωπος πρὸς τὴν θείαν ὁμοιότητα φθάνει, τοῦ ἐν σοφίᾳ πάντα πεποιηκότος, καὶ διὰ τῆς ὁμοιότητος πρὸς τὴν θείαν φιλίαν εἰκότως, ὡς ἐν ἑβδόμῳ τῆς Σοφίας λέγεται, ὅτι „ἡ σοφία θησαυρός ἐστιν ἄπειρος τοῖς ἀνθρώποις· ᾗ οἱ χρώμενοι γεγόνασι μέτοχοι καὶ φίλοι Θεοῦ“· χρησιμώτερον δέ, ὅτι δι' αὐτῆς ὁ ἄνθρωπος φθάνει πρὸς τὴν τῆς ἀθανασίας βασιλείαν, ὡς ἐν τῇ αὐτῇ Σοφίᾳ λέγεται ἐν τῷ ἕκτῳ· ἥδιον δέ, ὅτι „οὐχ *

7 I Cor. 3, 10 16 Ioh. 18, 37 31 Eccli. 14, 22 34 Sap. 7, 14 37 Sap. 8, 16



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἔχει πικρίαν ἡ μετ' αὐτῆς διατριβή, οὔτε τι ἀηδὲς ἡ μετ' αὐτῆς κοινωνία, ἀλλ' εὐφροσύνην καὶ χαράν", ὡς ἐν ὀγδόῳ τῆς Σοφίας λέγεται. Σκοπὸς οὖν ἐν τούτῳ τῷ βιβλίῳ σὺν Θεῷ τῷ τοῦ σοφοῦ ἔργῳ ἐπεξελθεῖν, τουτέστι τήν τε ἀλήθειαν τῆς πίστεως ὡς οἷόν τε ἡμῖν φανερῶσαι καὶ τὰς ἐναντίας ἐξορίσαι πλάνας· ἡ δὲ κατὰ τῶν αἱρέσεων προχώρησις, δυσχερὴς δυοῖν ἕνεκα, ὅτι τε οὐκ ἴσμεν τὰς αὐτῶν ὑποθέσεις, ὥστ' ἐξ αὐτῶν λόγους λαμβάνοντες, ἀνατρέπειν τὰς αἱρέσεις αὐτῶν, ᾧ τρόπῳ οἱ διδάσκαλοι κατὰ τῶν Ἑλλήνων ἐχρήσαντο διὰ τὸ εἰδέναι ἀκριβῶς τὰ αὐτῶν δόγματα, καὶ ὅτι τινὲς αὐτῶν, ὡς οἱ τοῦ Μωάμεθ καὶ τῶν ἄλλων δυσσεβῶν ὁ κατάλογος, κατ' οὐδεμίαν ἡμῖν τῶν θείων γραφῶν κοινωνοῦσιν· ὥσπερ πρὸς
f. 9 Ἰουδαίους μὲν ἐκ τῆς | παλαιᾶς, πρὸς δὲ τοὺς αἱρετικοὺς ἐκ τῆς καινῆς διαλεγόμεθα· ἐκείνων δὲ μηδετέραν δεχομένων, ἀνάγκη πρὸς τὰς φυσικὰς ἀνατρέχειν αἰτίας, αἷς πάντες ἀναγκάζονται τίθεσθαι· αὗται δὲ ὅμως ἐν τοῖς θείοις πράγμασιν ἀσθενοῦσιν.

Ἔτι δὲ καὶ ἀλήθειάν τινα βασανίζοντες, δείξομεν τὰς αἱρέσεις, αἳ δι' αὐτῆς ἀνατρέπονται· καὶ ὅπως τῇ χριστιανικῇ πίστει ἡ ἀποδεικτικὴ ἀλήθεια συμφωνεῖ.

## III. — Τίνι τρόπῳ χρηστέον πρὸς τὴν τῆς ἀληθείας φανέρωσιν.

Ἀλλ' ἐφ' ἃ μὲν τὴν ἀνθρωπίνην ἀπόδειξιν δυνατόν ἐστι φθάνειν, ὥσπερ τὸ τὸν Θεὸν εἶναι, τὸ ἕνα αὐτὸν εἶναι, ἃ καὶ οἱ φιλόσοφοι τῷ φυσικῷ τοῦ λόγου φωτὶ καὶ ἔγνωσαν καὶ ἀποδεῖξαι ἠδυνήθησαν, ἐπὶ ταῦτα καὶ ἡμεῖς τῷ τῆς ἀποδείξεως προχωρήσομεν τρόπῳ, τὰ δὲ μὴ συνοδεύοντα τῷ ἀνθρωπίνῳ νῷ καὶ λογισμῷ, ἀλλὰ πάντῃ ὑπεραίροντα αὐτόν, οἷον τὸ τὸν Θεὸν ἕνα εἶναι καὶ τρία· καὶ ὅσα τῇ θείᾳ ἀποκαλύψει καὶ τῷ ἐκ ταύτης φωτὶ πιστεύομεν, τῇ μὲν ἀξιοπιστίᾳ τῆς Γραφῆς πρὸς ἑαυτοὺς ἐρεισόμεθα, πρὸς δὲ τοὺς ἐναντιουμένους τῇ ἐκ τῶν φυσικῶν καὶ αἰσθητῶν ὁδῷ ἀγωνιούμεθα· δι' ἧς καὶ ἡμεῖς ἴσμεν πολλὰ περὶ τοῦ Θεοῦ κατὰ τὸν τοῦ ὅτι ἔστι τρόπον, οὐ κατὰ τὸν τοῦ τί ἐστιν· τοῦτον δὲ τὸν τρόπον οὐ δεῖ ἀποδοκιμάζειν ἐν τοῖς τοιούτοις· ὡς γὰρ ἐσχάτης μανίας ἂν ἦν, εἴ τις ἰδιώτης ὤν, τὰ παρὰ τοῦ Φιλοσόφου προβαλλόμενα ψευδῆ ἐνόμιζε, διότι ταῦτα νοεῖν οὐκ ἠδύνατο αὐτός, οὕτω χείρονος ἀμαθίας, εἴ τις ἃ θεόθεν ἀπεκαλύφθησαν ἀγγέλων διακονούντων, ὑποπτεύοι ψευδῆ, ὅτι μὴ λόγῳ δυνατὸν τὰ τοιαῦτα ἀνερευνᾶσθαι· διήκει μὲν γὰρ ἡ γνῶσις τῶν θείων ἐκ τοῦ θείου νοῦ πρὸς τὸν ἀνθρώπινον, ἀλλὰ κατὰ τὸν τρόπον τῶν ὑποδεχομένων αὐτήν. Ὅθεν, ὥσπερ ὁ ἀγγελικὸς νοῦς πλεῖστον ἐνδεῖ τοῦ θείου νοῦ, οὕτω καὶ ὁ ἀνθρώπινος οὐκ ἐξαρκεῖ πρὸς τὸν ἀγγελικὸν ἐν τῇ γνώσει τῆς περὶ τὸν Θεὸν ἀληθείας, τοῦ θείου νοῦ μόνου εἰδότος πᾶσαν τὴν περὶ ἑαυτὸν ἀλήθειαν τελείως καὶ ἀκριβῶς· ὅτι μόνος αὐτὸς

Ε.Υ.Δ της Επ.Π ΙΩΑΝΝΙΝΑ 2006

οἶδε τί ἐστιν αὐτός, τῇ οὐσίᾳ τὴν τοῦ νοεῖν δύναμιν ἔχων ἐξισουμένην. Εἰ δὲ καὶ πλείστας τῶν αἰσθητῶν ἰδιότητας ἀγνοοῦμεν, καί τινων γινωσκομένων τῇ αἰσθήσει ἰδιοτήτων, λόγον, εὑρεῖν τελείως ἀδυνατοῦμεν, τί θαυμαστόν, εἰ τὰ περὶ τὴν ἄκραν ἐκείνην οὐσίαν νοητὰ | ὁ ἀνθρώπινος νοῦς f. 9v ἐξιχνιάσαι οὐκ ἐξαρκεῖ· καλῶς δὲ καὶ ὁ Φιλόσοφος ἐν δευτέρῳ τῶν Μετὰ τὰ φυσικὰ τὸν ἡμέτερον νοῦν οὕτως ἔχειν φησὶ πρὸς τὰ πρῶτα τῶν νοητῶν, ἃ φανότατα τῇ ἑαυτῶν εἰσι φύσει, ὥσπερ τὰ τῶν νυκτερίδων ὄμματα πρὸς τὸν ἥλιον· καὶ ἐν τῷ Ἰὼβ λέγεται· „Ἰδοὺ Θεὸς μέγας νικῶν τὴν ἡμετέραν σοφίαν“· καὶ ἐν τῇ πρὸς Κορινθίους φησὶν ὁ Ἀπόστολος· „Ἐκ μέρους γινώσκομεν“. Οὐκ ἄρα πᾶν τὸ περὶ Θεοῦ λεγόμενον, εἰ καὶ λόγῳ δειχθῆναι μὴ δυνατόν, εὐθὺς ὥσπερ τι ψεῦδος ἀπορρίπτειν προσήκει, ὥσπερ Μανιχαῖοι καὶ οἱ πλεῖστοι τῶν ἀπίστων ὑπέλαβον.

IV. — Διὰ τί τὴν τῶν θείων ἀλήθειαν, ἧς καὶ ὁ φυσικὸς ἅπτεται λόγος, οὐκ ἀποδείξεσιν, ἀλλὰ πίστει λαμβάνομεν.

Οὐ μόνον δὲ τὴν ὑπερφυᾶ ἀλήθειαν, ἀλλὰ καὶ ἐφ᾽ ἣν ἡ τοῦ λόγου διέξοδος ἐξικνεῖται, πίστει παραλαμβάνομεν ἐν ταῖς γραφαῖς· καὶ ἔδει τοῦτο γίνεσθαι οὕτως, διότι εἰ λόγῳ μόνῳ ζητεῖν τὴν τοιαύτην ἀλήθειαν κατελείπετο, πρῶτον μὲν ὀλίγοις ἄν τισι τῶν ἀνθρώπων ἡ περὶ τοῦ Θεοῦ γνῶσις ἐγεγίνετο διὰ τὸ τῶν καρπῶν τῆς ἐπιμελοῦς ἐξετάσεως, δι᾽ ἧς ἔστιν εὑρεῖν τὴν ἀλήθειαν, τοὺς πλείους ἀποτυγχάνειν, ἢ τῷ δεσμῷ κωλυομένους τοῦ σώματος, ἢ ταῖς περὶ τὸν βίου καθημεριναῖς ἀσχολίαις οὐκ εὐκαιροῦντας τῇ ζητήσει τῆς ἀληθείας, ἢ ἀμελείᾳ καὶ ῥαθυμίᾳ δουλεύοντας, δι᾽ ἣν οὐ προαιροῦνται πονεῖν, ὥστε προλαβεῖν ὧν δεῖ πρὸς τὴν τῆς ἱερᾶς ἀληθείας ἐπίγνωσιν· τοὺς γὰρ τὰ θεῖα μέλλοντας εἴσεσθαι, πολλὰ προγινώσκειν ἀνάγκη· διὸ καὶ ἡ μετὰ τὰ φυσικὰ πραγματεία ἐσχάτη καταλείπεται τοῖς σπουδαστοῖς τῆς σοφίας.

Δεύτερον, ὅτι καὶ χρόνου ἂν ἔδει πολλοῦ διά τε τὸ τῆς ἀληθείας ταύτης ὕψος καὶ τῷ τὸ πλεῖστα εἶναι τὰ προειλῆφθαι ὀφείλοντα καὶ τὸ τὸν ἐν νεότητι χρόνον, κινήσεσι ποικίλων παθῶν τῆς ψυχῆς περικλυζομένης, ἀνεπιτήδειον εἶναι· παυσαμένων δὲ τῶν τοιούτων κινήσεων, φρονίμην γίνεσθαι καὶ σοφήν, καὶ οὕτω ἐν βαρυτάτῳ τῆς ἀγνοίας σκότῳ τὸ τῶν ἀνθρώπων ἂν κατελείπετο γένος, ὀλίγων δὲ καὶ μετὰ πολὺν χρόνον, τῇ τῆς ἀποδείξεως ὁδῷ πρὸς τὸ τὸν Θεὸν γινώσκειν ἀφικνουμένων.

Τρίτον, ὅτι ἐν τῇ τῆς ἀνθρωπίνης ἀποδείξεως διεξόδῳ τοῦ ψεύδους πολὺ παραμέμικται διά τε τὴν ἐν τῷ κρίνειν τοῦ ἡμετέρου νοῦ ἀρρωστίαν | καὶ τὴν τῶν φαντασμάτων ἐπεισαγωγὴν καὶ τὰς διαφόρους τῶν σοφῶν f. 10 περὶ τῶν αὐτῶν δόξας, ὑφ᾽ ὧν πολλοῖς πλείστη ἂν ἦν ἀμφιβολία καὶ περὶ

8 Job. 36, 26 10 I Cor. 13, 9

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τῶν ἀποδείκνυσθαι δυναμένων· πολλοῖς δὲ τῶν ἀληθῶν καὶ ἀποδεδειγμένων παραμίγνυταί τι καὶ ψεῦδος, ὅπερ ἀναπόδεικτόν ἐστιν, εἰ σοφιστικῇ τινι ἢ ἐνδόξῳ προτάσει δεικνύοιτο· ὃ πολλάκις ἀπόδειξις ἂν νομισθείη. Ἵνα τοίνυν οἱ ἄνθρωποι καθαρὰν καὶ πεπηγυῖαν τὴν περὶ τῶν θείων ἀλήθειαν καὶ σύντομον ἔχωσιν, προνενόηται ἡ θεία ἀγαθότης καὶ τῶν δυναμένων ληφθῆναι λόγῳ, πίστει μετέχειν ἡμᾶς ἀμφισβητήσεως ἔξω καὶ πλάνης τινός· ὡς ἐν τῇ πρὸς Ἐφεσίους λέγεται· „Μηκέτι περιπατεῖτε, καθὼς καὶ τὰ λοιπὰ ἔθνη περιπατεῖ, ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν ἐσκοτισμένοι τῇ διανοίᾳ". Καὶ ἐν τῷ Ἡσαΐᾳ λέγεται· „Θήσω πάντας τοὺς υἱούς σου διδακτοὺς Θεοῦ".

## V. — Διὰ τί τὰ ἐν τοῖς θείοις ὑπὲρ λόγον πιστεύεσθαι ἐν ταῖς γραφαῖς παραδέδοται.

Εἰκότως δὲ καὶ τὰ παντὸς πόρρω λόγου θεόθεν πιστευθησόμενα παραδέδοται τοῖς ἀνθρώποις· πρῶτον μέν, ὅτι οὕτω δόξαν ἐν ἡμῖν ὁ Θεὸς βεβαιοῖ, ὅτι αὐτός ἐστιν ἐπέκεινα παντὸς ὅ τις ἂν λογίσασθαι δύναιτο· καὶ οὕτω τὴν ἀνθρωπίνην ἐπιθυμίαν ἐξάπτει καὶ τὴν σπουδὴν οὐ μόνον πρὸς τὴν γνῶσιν τῶν θείων καὶ ὑψηλῶν, ἀλλὰ καὶ πρὸς τὸν σεμνὸν βίον, δι' οὗ τῇ θεωρίᾳ τῶν ὑψηλοτέρων ἐνασχολεῖσθαι δυνάμεθα. Δεύτερον δέ, ὅτι ἐντεῦθεν τῆς οἰήσεως ὁ ἀνθρώπινος ἀπαλλάττεται νοῦς, τῆς μητρὸς τῶν αἱρέσεων, καὶ τῇ σώφρονι τῆς ἀληθείας ζητήσει προσέχει, εἰδὼς οὐ μόνα εἶναι ἀληθῆ, ἅπερ ἂν αὐτῇ τῇ διὰ τοῦ λόγου εὑρέσει δοκοίη, καὶ τοὐναντίον τὰ μὴ δοκοῦντα αὐτῷ οὕτω ψευδῆ, ἀλλ' εἶναί τινα μάλιστα ἀληθῆ ὡς ἐκ Θεοῦ προτιθέμενα ἀμέσως, ἃ πάντη τὸν ἀνθρώπινον ὑπεραίρει νοῦν. Καὶ ὁ Φιλόσοφος ἐν δεκάτῳ τῶν Ἠθικῶν· „Δεῖ, φησί, τὸν ἄνθρωπον ὡς οἷόν τε ἑαυτὸν πρὸς τὰ ἀθάνατα ἕλκειν"· καὶ ἐν ἑνδεκάτῳ περὶ ζῴων γενέσεως· „Εἰ καὶ ὀλίγον ἐστί, φησίν, ὃ περὶ τῶν ἀνωτέρων λαμβάνομεν οὐσιῶν, ὅμως τὸ βραχὺ τοῦτο πάσης γνώσεως μᾶλλον καὶ φιλεῖται καὶ ἀγαπᾶται"· ὥστε καὶ κατ' αὐτόν, τὴν περὶ τῶν τιμιω-
f. 10v τάτων πραγμάτων εἴδησιν, κἂν ἀτελὴς ᾖ, μεγίστην | τελείωσιν τῇ ψυχῇ συνεισφέρειν· ὅθεν εἰ καὶ τὰ μὴ δυνάμενα λόγῳ ληφθῆναι ὁ ἀνθρώπινος ἀδυνατεῖ δέξασθαι λόγος, ὅμως, πολλὴν αὐτῷ περιποιεῖται τελειότητα, εἰ ταῦθ' οὕτω καὶ ὁπωσοῦν πίστει κατέχει· καὶ διὰ τοῦτο λέγεται ἐν τῷ τρίτῳ τοῦ Ἐκκλησιαστοῦ· „Πλεῖστα ὑπὲρ τὴν ἀνθρωπίνην αἴσθησιν ἐδείχθη σοι". Καὶ ἐν τῇ πρὸς Κορινθίους β̅ʹ λέγεται· „Τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ Πνεῦμα τοῦ Θεοῦ ... ἡμῖν δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ".

---

7 Eph. 4, 17, 18 9 Is. 54, 13 34 Eccli. 3, 25 35 I Cor. 2, 10, 11

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

### VI. — Ὅτι τὸ πείθεσθαι τοῖς πίστει παραδεδομένοις οὐκ ἔστιν εὐκολίας, εἰ καὶ ὑπὲρ λόγον εἰσίν.

Ἀλλ' οἱ τῇ μηδὲν ἀπὸ τῶν ἀνθρωπίνων ἐχούσῃ τεκμήριον ἀληθείᾳ πιστεύοντες οὐκ εὐκολίᾳ τινὶ τοῦτο ποιοῦσιν, ὥσπερ σεσοφισμένοις τισὶν ἐξακολουθήσαντες μύθοις· τὰ γὰρ τῆς θείας σοφίας ἀπόρρητα αὐτὴ δι' ἑαυτῆς ἠξίωσε τοῖς ἀνθρώποις ἀποκαλύψαι· ἣ τὴν αὐτῆς παρουσίαν καὶ τῆς ἰδίας διδασκαλίας καὶ ἐμπνεύσεως τὴν ἀλήθειαν ἁρμοζούσαις καὶ ἱκαναῖς ἀποδείξεσιν ἐφανέρωσε, τοῖς ὑπὸ πάντων ὁρωμένοις ἔργοις, ἃ τὴν δύναμιν τῆς φύσεως ἁπάσης ἐνίκα, τὰ ὑπὲρ λόγον δόγματα βεβαιοῦσα, τουτέστι θαυμαστῇ τῶν ἀσθενῶν θεραπείᾳ, νεκρῶν ἀναστάσει, παραδόξῳ μεταβολῇ τῶν οὐρανίων σωμάτων, καὶ τὸ παραδοξότατον, διανοιῶν ἀνθρωπίνων ἐμπνεύσει, ὑφ' ἧς ἄνδρες ἁπλοῖ τε καὶ ἰδιῶται τῆς τοῦ Πνεύματος δωρεᾶς ἐμπλησθέντες, ἐν μιᾷ ῥοπῇ τῆς ἄκρας ἔτυχον σοφίας καὶ εὐπορίας· ὧν ὁρωμένων, οὐχ ὅπλων βίᾳ, οὐχ ἡδονῶν ὑποσχέσει, ἀλλ' ὃ θαυμαστότατον πάντων, μέσον τῆς τῶν διωκτῶν τυραννίδος, ἀναρίθμητον πλῆθος οὐκ ἀμαθῶν μόνον ἀνθρώπων, ἀλλ' ἤδη καὶ τῶν σοφωτάτων, πρὸς τὴν τῶν χριστιανῶν πίστιν μετέπτη· ἐν ᾗ κηρύττεται τὰ πάντα νοῦν ἀνθρώπινον ὑπερβαίνοντα, σαρκικῶν τε ἡδονῶν ἐποχὴ καὶ τῶν κοσμικῶν ἁπάντων ὑπεροψία· οἷς πείθεσθαι τῶν θνητῶν τὰς ψυχὰς μέγιστον ἂν εἴη θαυμάτων καὶ φανερὸν τῆς θείας ἐμπνεύσεως ἔργον· ὥστε τῶν ὁρωμένων καταφρονουμένων ἁπάντων, μόνων εἶναι τὴν ἐπιθυμίαν τῶν ἀοράτων· ὧν ἕκαστον οὐκ ἐξαίφνης οὐδ' ἀπὸ τύχης, ἀλλ' ἐκ τῆς θείας φανερὸν οἰκονομηθῆναι προνοίας· καὶ δῆλον ἀπὸ τοῦ πολλοῖς πρότερον χρόνοις τοῖς τῶν προφητῶν ῥήμασι τὰ μετὰ ταῦθ' ὑπ' αὐτοῦ γενόμενα προειπεῖν, ὧν αἱ βίβλοι παρ' ἡμῖν εἰσιν ἐν αἰδοῖ ὡς τῇ ἡμετέρᾳ πίστει φανερώτατα μαρτυροῦσαι· | ἧς δὴ μαρτυρίας τὸν f. 11
τρόπον ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ἑβραίους β̅ ἐκτίθησι λέγων· „Ἥτις (ἡ τῶν ἀνθρώπων δηλαδὴ σωτηρία) ἀρχὴν λαβοῦσα τοῦ λαλεῖσθαι ὑπὸ τοῦ Κυρίου διὰ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι καὶ Πνεύματος ἁγίου μερισμοῖς“. Αὕτη τοίνυν ἡ οὕτω θαυμαστὴ τοῦ κόσμου πρὸς τὴν τῶν χριστιανῶν πίστιν ἐπιστροφὴ μαρτύριον ἐναργέστατόν ἐστι τῶν παρελθόντων σημείων, ὥστε μὴ δεῖν ταῦτα τοῦ λοιποῦ βασανίζεσθαι, ὡς ἐν αὐτοῖς ἐκδηλότατα φαινόμενα τοῖς ἀποτελέσμασιν. Ἦν γὰρ ἂν θαυμαστότατον πάντων σημείων, εἰ πρὸς τὸ πιστεύειν οὕτω μεγάλα καὶ πράττειν οὕτω δυσχερῆ καὶ ἐλπίζειν οὕτως ὑψηλὰ ἄνευ παραδόξων ὁ κόσμος ἐνήχθη σημείων ὑπ' ἀμαθῶν καὶ ἀσήμων ἀνθρώπων· εἰ κἂν τοῖς ἡμετέροις καιροῖς, εἰς βεβαίωσιν τῆς ἡμῶν πίστεως, οὐ παύεται διὰ τῶν ἁγίων αὐτοῦ θαυματουργῶν ὁ Θεός.

---

26 β̅: allusion sans doute au chapitre, car on ne connait point de seconde épitre aux Hébreux 27 Heb. 2, 3, 4

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

Ἀλλ' οἱ τὰς αἱρέσεις εἰσάγοντες δι' ἐναντίας ἦλθον ὁδοῦ, ὡς δῆλον ἐπὶ τοῦ καταράτου Μωάμεθ, ὃς σαρκικῶν ὑποσχέσεσιν ἡδονῶν, ὧν ἐπὶ τὴν ἀπόλαυσιν τὸ ἐπιθυμητικὸν διανίστησιν, ἐδελέασε τοὺς ἀνθρώπους, ἐπιτάγματά τε παρέδωκεν ὅμοια τοῖς ὑπεσχημένοις, ταῖς τῆς σαρκὸς ἐπιθυμίαις ἐφιεὶς τὰς ἡνίας, αἷς οἱ σαρκικοὶ τῶν ἀνθρώπων μεθ' ὁρμῆς πεφύκασι πείθεσθαι· ἀληθῶν τε δογμάτων οὐδόλως ἐφρόντισεν, εἰ μήπου τοιούτων οἷα καὶ πᾶς τις ἂν εἰδείη φυσικῶς μηδὲ μετρίως σοφός· εἰ δέ τι καὶ ἀληθὲς εἶπε, μύθοις καὶ ψεύδεσι παρέμιξε, σημεῖά τε οὐ παρέσχετο, τὰ μόνα τῆς θείας ἐπιπνοίας τεκμήρια. Ἡ γὰρ φανερὰ ὑπὲρ τὴν φύσιν ἐνέργεια, ἣν μὴ θείαν εἶναι ἀδύνατον, δείκνυσι τὸν διδάσκαλον τῆς ἀληθείας ἀναμφιβόλως ἐπίπνουν· ἀλλ' εἶπεν ἐν ὅπλων ἐληλυθέναι δυνάμει, ἃ τυράννοις πρόσεστι καὶ λῃσταῖς· ὅμως οὐδ' οὕτως τινὲς τῶν σοφῶν ἐπίστευσαν αὐτῷ, ἀλλ' ἄνθρωποι θηριώδεις καὶ ἐν ἐρήμοις διάγοντες, πάσης διδασκαλίας θείας ἀνήκοοι· δι' ὧν τοὺς ἄλλους τοῖς ὅπλοις ἠνάγκασεν. Οὔτε ἀπ' οὐδενὸς λόγου τῶν παλαιγενῶν προφητῶν ἔχει τὴν μαρτυρίαν· διαστρέφει μὲν οὖν αὐτὸς τὰ δόγματα τῶν διαθηκῶν ἀμφοτέρων μυθικοῖς διηγήμασιν. Ὅθεν διαστρόφως καὶ εἶρξε τοὺς ἀκολούθους τὰς ἱερὰς βίβλους ἀναγινώσκειν, ὥστε μὴ δι' αὐτῶν τὸ ψεῦδος ἐλέγχεσθαι· ἐξ ὧν δῆλον,
f. 11v ὡς οἱ προσέχοντες αὐτῷ κουφότητι | τοῦτο πάσχουσιν·

## VII. — Ὅτι ἡ τῆς ἀποδείξεως ἀλήθεια οὐκ ἐναντία τῇ ἀληθείᾳ τῆς πίστεως.

Ἀλλ' εἰ καὶ ἡ τῆς χριστιανικῆς πίστεως ἀλήθεια τὸν ἀνθρώπινον νοῦν ὑπεραίρει, ὅμως τὰ λόγῳ φυσικῶς δεικνύμενα οὐκ ἐναντιοῦται αὐτῇ· τά τε γὰρ φυσικῶς ταῖς ἀποδείξεσι ἐσκεμμένα ἀληθέστατα εἶναι συμβαίνει, τά τε πίστει γινωσκόμενα πολλῷ μᾶλλον, ὡς φανερῶς θεόθεν βεβαιωθέντα. Ἀληθεῖ δὲ οὐ μάχεται ἀληθές, ἀλλὰ ψεῦδος μόνον.

Ἔτι, εἰ ὃ ταῖς τῶν μαθητῶν ψυχαῖς ὑπὸ τοῦ διδασκάλου εἰσάγεται, ἡ αὐτοῦ πρῶτον περιέχει σοφία, εἰ μὴ πεπλασμένως διδάσκει, ἡ δὲ τῶν φύσει γινωσκομένων γνῶσις ἐν ἡμῖν ἐκ Θεοῦ, ὅς καὶ τῆς φύσεως ἡμῖν καὶ τῶν ἐν αὐτῇ ποιητής ἐστιν, τὰς ἀρχὰς ταύτας καὶ ἡ θεία περιέχει σοφία· ὥστε τὸ ἐναντίον ταῖς ἀρχαῖς ταύταις καὶ τῇ θείᾳ σοφίᾳ ἐναντίον ἐστίν. Οὐκ ἄρα ἀπὸ Θεοῦ ἂν εἴη· εἰ δὲ ἐκ Θεοῦ, οὐκ ἂν εἴη ἐναντίον.

Ἔτι, πῶς ἂν ἦν ἐκ Θεοῦ τὸ ἐμποδίζον ἡμῖν πρὸς τὴν γνῶσιν τῆς ἀληθείας· ὁ δὲ νοῦς ἐμποδιζόμενος ταῖς ἐναντίαις ἀποδείξεσιν οὐ δύναται πρὸς τὴν τῆς ἀληθείας κατανόησιν προχωρεῖν. Οὐκ ἄρα ἐναντίαι ἥ τε πίστις καὶ ἡ φυσικὴ γνῶσις.

Ἀλλὰ μὴν καὶ ἀδύνατον τῷ αὐτῷ περὶ τοῦ αὐτοῦ τὰς ἐναντίας εἶναι δόξας· διὸ καὶ ὁ Ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους φησίν· „Ἐγγύς σου

39 Rom. 10. 8

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸ ῥῆμα ἐν τῇ καρδίᾳ σου καὶ ἐν τῷ στόματί σου· τὸ ῥῆμα δηλαδὴ τῆς πίστεως, ὃ κηρύττομεν“· τῷ δὲ ὑπὲρ ἀπόδειξιν εἶναι, ἔδοξέ τισιν ἐναντίον εἶναι τῷ λόγῳ.

Ἐκ τούτων τοίνυν δῆλον, ὡς ὅσα ἐναντία τοῖς τῆς πίστεως δόγμασιν ἐπιχειρήματα προτεθείη, ταῦτ' ἐκ τῶν φυσικῶν ἀρχῶν καὶ καθ' αὐτὰ γνωρίμων οὐκ ὀρθῶς ὥρμηνται· ὅθεν οὐδ' ἀποδείξεως δύναμιν ἔχουσιν, ἀλλ' εἰσὶν ἢ ἔνδοξοι, ἢ σοφιστικοὶ λόγοι, καὶ οὕτω πρὸς τὸ λύειν αὐτὰ καταλείπεται τόπος.

## VIII. — Πῶς ἔχει ἡ ἀνθρωπίνη ἀπόδειξις πρὸς τὴν τῆς πίστεως ἀλήθειαν.

Ἐπισκεπτέον δ' ἂν εἴη, ὅτι τὰ αἰσθητά, ἐξ ὧν ἡ ἀνθρωπίνη ἀπόδειξις ἀνίσχει, ἔχουσί τι τῆς θείας ὁμοιότητος ἴχνος ἐν ἑαυτοῖς, εἰ καὶ οὕτως ἀτελές, ὥστε πρὸς τὸ τὴν θείαν οὐσίαν δεικνύναι, εὑρίσκεσθαι παντάπασιν ἀδρανές· ἔχουσι γὰρ τὰ ἀποτελέσματα οἰκείως ἑαυτοῖς τὴν τῶν ἰδίων αἰτιῶν ὁμοιότητα, ἐπεὶ πᾶν τι ποιοῦν ὅμοιον ἑαυτῷ ἁμηγέπη ποιεῖ, καὶ οὐ τέλειον. Ἡ ἀνθρωπίνη τοίνυν ἀπόδειξις οὕτως ἔχει πρὸς τὸ τὴν τῆς πίστεως γινώσκειν ἀλήθειαν, ἢ μόνοις τοῖς γινώσκουσι | τὴν θείαν οὐσίαν f. 12
καταφανὴς εἶναι δύναται, ὥστε πρὸς αὐτὴν ὁμοίους ἀληθέσι καὶ πιθανοὺς λόγους συνάγειν· οἵτινες οὐκ ἀρκοῦσιν ὥστε τὴν προειρημένην ἀλήθειαν ὥσπερ ἀποδεικτικῶς ἢ καθ' αὑτὴν γινωσκομένην καταλαμβάνεσθαι. Ἔστι μέντοι χρήσιμον ἐν ταῖς τοιαύταις τῶν ἀποδείξεων, καὶ ἀσθενέσιν οὔσαις ἁμηγέπη, γυμνάζειν ἑαυτὴν τὴν ἡμετέραν διάνοιαν· ἐφόσον ἄπεστιν, ἡ τοῦ καταλαμβάνειν ἢ ἀποδεικνύναι τὰ τοιαῦτα δύνασθαι οἴησις· ἐπεὶ περὶ τῶν ὑψηλοτάτων καὶ τὸ φαύλῃ καὶ ἀδρανεῖ ἐπισκέψει δύνασθαί τι κατανοεῖν ἥδιστόν ἐστιν, ὡς προείρηται· „Καὶ εἰ μὴ φθάσεις, φησὶν Ἱλάριος, ἀλλὰ τὸ προκόψαι ἡδύ· ὁ γὰρ εὐσεβῶς ἀνιχνεύων τὰ ἄπειρα, εἰ καὶ μὴ ἐπιτυγχάνει, ἀεὶ μέντοι προκόπτει τῷ προϊέναι“.

## IX. — Περὶ τοῦ τρόπου τῆς ἐνταῦθα μεταχειρήσεως.

Δῆλον δή, ὡς ἡ πρόθεσις τοῦ σοφοῦ, περί τε τὴν διπλῆν τῶν θείων ἀλήθειαν καὶ τὴν ἀνατροπὴν τῶν ἐναντίων αἱρέσεων· λέγω δὲ διπλῆν, οὐκ ἀπὸ τοῦ Θεοῦ, ὅς ἐστι μία καὶ ἁπλουστάτη ἀλήθεια, ἀλλ' ἀφ' ἡμῶν διαφόρως ἐχόντων πρὸς τὴν γνῶσιν τῶν θείων.

Καὶ ἡμεῖς οὖν πρὸς μὲν τὴν τῆς πρώτης ἀληθείας φανέρωσιν τοῖς ἀποδεικτικοῖς χρησόμεθα λόγοις, αἷς δυνατὸν τοὺς ἐναντιουμένους νικᾶν· πρὸς δὲ τὴν δευτέραν οὐκ ἀρκούντων ὁμοίως, ὅμως χρησόμεθα, οὐ νικήσοντες τοὺς ἀντιλέγοντας, ἀλλὰ λύσοντες ἃ κατὰ τῆς ἀληθείας προφέρουσιν. Ὁ μέντοι καθέκαστον τρόπος, ᾧ νικήσομεν τοὺς ἀνθισταμένους, ἐκ τῶν τῆς Γραφῆς ἔσται σημείοις βεβαιωθέντων· τοῖς γὰρ ὑπὲρ ἀνθρωπίνην ἀπόδειξιν

Ε.Υ.Δ της Γ.Τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

οὐκ ἄλλως ἢ τοῦ Θεοῦ ἀποκαλύπτοντος πεπιστεύκαμεν· εἰσαχθήσονται δὲ ὑπὲρ τῆς ἀληθείας καὶ λόγοι πιθανοί, οὐ πρὸς νίκην τῶν ἐναντίων, ἀλλὰ πρὸς διατριβὴν τῶν πιστῶν καὶ γυμνάσιον· τὸ γὰρ τῶν ἀποδείξεων ἐνδεὲς μᾶλλον ἂν αὐτοὺς εἰς τὸ τῶν αἱρέσεων ἔχεσθαι βεβαιώσειεν, νομίζοντας οὕτως ἀσθενέσι λόγοις προσκειμένους πιστεύειν.

Πρῶτον οὖν τὴν ἀλήθειαν βεβαιώσομεν λόγοις ἀποδεικτικοῖς, ἣν καὶ ἡ πίστις παραδίδωσι καὶ ὁ λόγος συνέπεται καὶ λόγοις ἐνδόξοις· εἶτα περὶ τῆς πάντα λόγον νικώσης ἀληθείας ἐροῦμεν. Ἔτι ἀποδείξεσί τε καὶ μαρτυρίαις λύσομεν τοὺς ἐναντίους, ἀποδείξεσι δὲ ἐνδόξοις, οἷς πᾶσιν ὥσπερ θεμελίοις προϋπόκειται τὸ περὶ τοῦ Θεὸν εἶναι ζήτημα.

f. 12v X. — Περὶ τῶν λεγόντων ὅτι τὸ τὸν Θεὸν εἶναι οὐκ ἀποδείκνυται ὡς καθ' αὑτὸ φανερόν.

Ἔνιοι γὰρ φασὶ τὸ τὸν Θεὸν εἶναι καθ' ἑαυτὸ φανερὸν εἶναι, ὥστε τὸ ἐναντίον αὐτῷ μηδὲ δύνασθαί τινι ὑποληφθῆναι, καὶ οὕτω μηδὲ δύνασθαι δείκνυσθαι τὸ τὸν Θεὸν εἶναι. Ἐκεῖνα γάρ, φασί, καθ' ἑαυτὰ εἶναι γνώριμα, ἃ τῶν ὅρων γινωσκομένων γινώσκονται· ὥσπερ γνωσθέντος τί ἐστιν ὅλον, καὶ τί ἐστι μέρος αὐτίκα γινώσκεται, καὶ ὅτι πᾶν ὅλον μεῖζον τοῦ μέρους· τοιοῦτον δὲ καὶ τὸ τὸν Θεὸν εἶναι· τῷ γὰρ ὀνόματι τοῦ Θεοῦ νοεῖται, οὗ μεῖζον οὐκ ἔστιν ἐπινοῆσαι· ὥστε πρῶτον μὲν ἐν τῇ διανοίᾳ τοὐλάχιστον ἀναγκαῖον εἶναι τὸ τὸν Θεὸν εἶναι· εἶτα καὶ ἐν τῷ πράγματι· τὸ γὰρ ἐν διανοίᾳ καὶ πράγματι ὑφιστάμενον μεῖζον τοῦ ἐν διανοίᾳ μόνον νοουμένου· τοῦ δὲ Θεοῦ μηδὲν εἶναι μεῖζον ὁ τοῦ ὀνόματος δείκνυσιν ὁρισμός.

Ἔτι, ἃ γινώσκονται φυσικῶς, καθ' ἑαυτὰ πάντως γινώσκονται· τὸ δὲ τὸν Θεὸν εἶναι φυσικῶς ἐστι γνώριμον· φύσει γὰρ πρὸς αὐτὸν ἡ τῶν ἀνθρώπων ἔφεσις τείνει ὡς εἰς ἔσχατον τέλος, ὡς αὐτίκα δειχθήσεται.

Ἔτι, καθ' ἑαυτό ἐστι γνώριμον, ᾧ τὰ ἄλλα γινώσκονται· τοιοῦτος δὲ ὁ Θεός· ὡς γὰρ τὸ τοῦ ἡλίου φῶς ἀρχή ἐστι πάσης ὁρατῆς καταλήψεως, οὕτω καὶ τὸ θεῖον φῶς ἀρχὴ πάσης νοητῆς ἐστι γνώσεως, τοῦ πρώτου νοητοῦ φωτὸς ἐν αὐτῷ μάλιστα εὑρισκομένου.

XI. — Ἔλεγχος τῆς προειρημένης δόξης καὶ λύσις τῶν ἀποδείξεων.

Ἡ δὲ δόξα αὕτη πῇ μὲν ἐκ τοῦ ἔθους ἐστίν, ὃ ἰσχὺν ἔχει φύσεως· πάντες γὰρ παιδόθεν, τὸ τοῦ Θεοῦ ὄνομα ἀκούειν εἰώθαμεν καὶ ἐπικαλεῖσθαι· πῇ δὲ ἐκ τοῦ μὴ διακρίνειν τί τὸ ἁπλῶς φανερόν, καὶ τί τὸ πρὸς ἡμᾶς. Ἁπλῶς μὲν γὰρ τὸ τὸν Θεὸν εἶναι καθ' ἑαυτό ἐστι φανερόν, ὅτι τὸ εἶναι αὐτοῦ ἐστιν ὅπερ αὐτός. Ἀλλ' ἐπειδὴ τοῦθ' ὅπερ ἐστὶν ὁ Θεὸς τῇ διανοίᾳ συλλαβεῖν οὐ δυνάμεθα, ὅσον πρὸς ἡμᾶς ἄγνωστον καταλείπεται· καὶ τοῦτο βούλεται τὸ πρὸς τὰ φανερώτατα τῶν πραγμάτων ἔχειν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὸν ἡμέτερον νοῦν, ὡς πρὸς τὸν ἥλιον τὰ τῶν νυκτερίδων ὄμματα, τῷ Ἀριστοτέλει ἐν τοῖς Μετὰ τὰ φυσικὰ εἰρημένον. Λύονται δὲ τὰ ἐπιχειρήματα οὕτως.

Οὐκ ἀνάγκη τὸ τὸν Θεὸν εἶναι φανερὸν εἶναι εὐθύς, γνωσθείσης τῆς τοῦ Θεός ὀνόματος σημασίας· πρῶτον μὲν ὅτι μηδ' αὐτοῖς τοῖς συγχωροῦσιν εἶναι Θεὸν ἔστι γνώριμον τοῦτ' εἶναι Θεόν, οὗ μεῖζον οὐκ ἔστιν ὑποληφθῆναι· πολλοὶ γὰρ τῶν ἀρχαίων τοῦτον τὸν κόσμον ἔφασαν εἶναι Θεόν. Εἶτα, καὶ διδομένου πᾶσιν οὕτω νοεῖσθαι, οὐκ ἀ|νάγκη εἶναί τι f. 13 ἐν τῇ τῶν πραγμάτων φύσει οὗ μεῖζον οὐκ ἔστιν νοεῖσθαι· οὐ γὰρ τῷ εἶναί τι ἐν τῷ νῷ τὸ καὶ ἐν τῇ τῶν πραγμάτων φύσει εἶναι ἀκολουθεῖ. Ἀλλὰ καὶ οὕτως φυσικῶς ὁ ἄνθρωπος τὸν Θεὸν γινώσκει, ὡς καὶ φύσει αὐτοῦ ἐφίεται· ἐφίεται δὲ αὐτοῦ φύσει, ὡς φύσει τῆς μακαριότητος ἐφιέμενος, ἥ ἐστιν ὁμοιότης τῆς θείας ἀγαθότητος, ὥστε καὶ ἡ ὁμοιότης τοῦ Θεοῦ γινώσκεται φυσικῶς ἐν ἀνθρώπῳ, ἅτε διὰ τῶν ἐν τοῖς ἀποτελέσμασιν ἰδιοτήτων εἰς τὴν θείαν γνῶσιν τοῦ ἀνθρώπου συλλογισμῷ προϊόντος.

Καὶ αὖθις· ἔστι μὲν ὁ Θεός, ᾧ τὰ ἄλλα γινώσκονται, οὐχ οὕτω μέντοι, ὥστε τὰ ἄλλα μὴ γινώσκεσθαι, αὐτοῦ μὴ γινωσκομένου, ὃ προσήκει ταῖς καθ' αὑτὰς γνωρίμοις ἀρχαῖς· ἀλλ' ὅτι διὰ τῆς ἐλλάμψεως αὐτοῦ παντὸς ἐν ἡμῖν ἐγγίνεται γνῶσις.

## XII. — Περὶ τῶν λεγόντων, ὅτι τὸ τὸν Θεὸν εἶναι δειχθῆναι ἀδύνατον.

Ἄλλοι δὲ ἐναντίως τοῖς προειρημένοις ἐδόξασαν τὸ τὸν Θεὸν εἶναι μὴ δύνασθαι ἀποδείκνυσθαι ὅλως, ἀλλὰ μόνῃ πίστει καὶ ἀποκαλύψει γινώσκεσθαι. Καὶ προαχθῆναι δοκοῦσιν εἰς τοῦτο διὰ τὴν τῶν ἀποδείξεων ἀσθένειαν, ἃς εἰσῆγόν τινες πρὸς τὸ τὸν Θεὸν εἶναι δεικνύναι, καὶ διὰ τοὺς τινῶν λόγους, οἵτινες ἐπειρῶντο δεικνύειν ταὐτὸν εἶναι ἐπὶ Θεοῦ τὴν οὐσίαν καὶ τὸ εἶναι, τουτέστιν ὅπερ ἀποκρινόμεθα πρὸς τὴν ζήτησιν τοῦ εἰ ἔστι καὶ τοῦ τί ἐστιν. Εἰ οὖν οὐδεμιᾷ μεθόδῳ ἀποδείξεως ἐφικνούμεθα τοῦ γνῶναι τί ἐστιν ὁ Θεός, εὔδηλον ὅτι οὐδὲ τοῦ γνῶναι ὅτι ἔστιν. Ἀλλὰ τὸ ψεῦδος τῆς τοιαύτης ἀποφάσεως δείκνυται ἔκ τε τῆς ἀποδεικτικῆς ἐπιστήμης, ἥτις ἐκ τῶν αἰτιατῶν τὰ αἴτια συνάγειν διδάσκει, καὶ ἐξ αὐτῆς τῆς τάξεως τῶν ἐπιστημῶν. Εἰ γὰρ μηδεμία ἐστὶν ἐπιστητὴ οὐσία παρὰ τὴν αἰσθητήν, οὐδ' ἐπιστήμη τις ἔσται παρὰ τὴν φυσικήν, ὡς ἐν τετάρτῳ τῶν Μετὰ τὰ φυσικά λέγεται.

Ἔτι τε ἐκ τῆς τῶν φιλοσόφων σπουδῆς, οἳ τὸ τὸν Θεὸν εἶναι ἐπεχείρησαν ἀποδεικνύναι, καὶ πρὸς τούτοις τῇ ἀποστολικῇ ἀληθείᾳ, διϊσχυριζομένῃ „τὰ ἀόρατα τοῦ Θεοῦ τοῖς ποιήμασι νοούμενα καθορᾶσθαι“. Εἰ

27 *τοὺς τινῶν* sic A. Nous respectons l'accentuation de l'auteur 38 Rom. 1, 20

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

δὲ καὶ τὸ εἶναι, ᾧ τὸν Θεὸν ἐν ἑαυτῷ φαμὲν ὑφεστάναι, ἀγνοεῖται ἡμῖν οἷόν ἐστιν, ὥσπερ καὶ ἡ θεία οὐσία, ἀλλὰ τὸ εἶναι, ὃ σημαίνει τὴν ἐν τῷ νῷ σύνθεσιν, οὐκ ἀγνοεῖται· οὕτω δὲ ὑπ' ἀπόδειξιν τὸ τὸν Θεὸν εἶναι
f. 13v πίπτει, ἐκ τῶν ἀπο|δεικτικῶν λόγων τῆς ἡμετέρας διανοίας ἐναγομένης τοιαύτην πρότασιν ἀνατυποῦν περὶ τοῦ Θεοῦ, ἡ δείκνυσι τὸν Θεὸν εἶναι.

## XIII. — Λόγοι ἀποδεικνύντες εἶναι Θεόν.

Δειχθέντος τοίνυν, ὡς οὐκ ἔστι μάταιον πειρᾶσθαι δεικνύναι Θεὸν εἶναι, προϊτέον ἐπὶ τὸ καὶ ἀποδεικνύναι τοῦτο. Ἀριστοτέλης μὲν οὖν ἐκ τῆς κινήσεως ἀπέδειξε μεθόδοις δυσίν· ὧν ἡ προτέρα τοιαύτη·

Πᾶν τὸ κινούμενον ὑπ' ἄλλου κινεῖται· φαίνεται δέ τι τῇ αἰσθήσει κινούμενον, ὡς, λόγου χάριν, ὁ ἥλιος· οὐκοῦν ἄλλου κινοῦντος κινεῖται· ἢ τοίνυν κἀκεῖνο τὸ κινοῦν κινεῖται, ἢ οὔ· εἰ μὲν οὖν μὴ κινεῖται, ἔχομεν τὸ ζητούμενον, ὅτι ἔστι τι κινοῦν ἀκίνητον, ὅ φαμεν εἶναι Θεόν· εἰ δὲ κινεῖται, ὑπ' ἄλλου κινεῖται· ἢ τοίνυν ἐπ' ἄπειρον ἐστὶ προϊέναι (ἀλλ' οὐκ ἔστιν ἐπ' ἄπειρον προϊέναι), ἢ ἀνάγκη καταντῆσαι εἴς τι πρώτως κινοῦν ἀκίνητον. Δείκνυσι δὲ καὶ τὰς δύο προτάσεις, τὴν μὲν ὅτι πᾶν τὸ κινούμενον ὑπ' ἄλλου κινεῖται, λόγοις τρισίν· τὴν δὲ ὅτι ἐν τοῖς κινοῦσι καὶ κινουμένοις οὐκ ἔστιν ἐπ' ἄπειρον προϊέναι, λόγοις ὁμοίως τρισίν.

Ἡ δὲ δευτέρα μέθοδος τοιαύτη ἐστίν· εἰ πᾶν τὸ κινοῦν κινοῖτο, αὕτη ἡ πρότασις ἢ καθ' αὑτήν ἐστιν ἀληθής, ἢ κατὰ συμβεβηκός· ἀλλὰ μὴν κατὰ συμβεβηκὸς εἰ ἀληθής ἐστιν, οὐκ ἔστιν ἀναγκαία, ἀλλ' ἐνδεχομένη· εἰ δὲ ἐνδεχομένη, ἐνδεχόμενον ἔσται μηδὲν κινεῖσθαι ποτέ· τοῦτο δὲ ἀδύνατον τὸ ποτὲ μὴ εἶναι κίνησιν· ἄλλως τε, εἰ κατὰ συμβεβηκὸς εἴη ἀληθής, εὑρεθήσεται ποτὲ τὸ κινούμενον χωρὶς τοῦ κινοῦντος, καὶ τὸ κινοῦν ἄνευ τοῦ κινουμένου· τὰ γὰρ κατὰ συμβεβηκὸς ἑνούμενα καὶ χωρίζεσθαί ποτε δύνανται, καὶ ἐν ἄλλοις. Εἰ δὲ καθ' αὑτήν ἐστιν ἀληθής, ἐπεὶ ἀνάγκη τὸ κινοῦν κινεῖσθαι, ἢ τῷ αὐτῷ εἴδει τῆς κινήσεως ἣν κινεῖ, ἢ ἑτέρῳ· εἰ μὲν τῷ αὐτῷ, ἀλλ' ἀδύνατον· τὸν γὰρ διδάσκοντα ἀνάγκη ἐπιστήμην ἔχειν, τὸν δὲ μανθάνοντα ἀνάγκη μὴ ἔχειν, καὶ οὕτως ἀνάγκη τὸν αὐτὸν κατὰ τὸ αὐτὸ τὸ αὐτὸ ἔχειν τι καὶ μὴ ἔχειν· ὅπερ ἀδύνατον· ὡσαύτως δὲ καὶ ἐπὶ τοῦ ἀλλοιοῦντος καὶ ὑγιάζοντος, καὶ παντὸς κινοῦντος ὁπωσδηποτοῦν. Εἰ δὲ ἄλλῳ κινήσεως εἴδει, ἕν τε δηλονότι τὸ κατὰ τόπον κινοῦν ἀλλοιοῦσθαι, τὸ δὲ ἀλλοιούμενον αὔξεσθαι, ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων, ἕπεται μὴ δυνατὸν εἶναι προϊέναι ἐπ' ἄπειρον, πεπερασμένων
f. 14 ὄντων | τῶν εἰδῶν καὶ τῶν γενῶν τῆς κινήσεως· καὶ οὕτως ἔσται τι πρώτως κινοῦν, ὃ μὴ ὑπ' ἄλλου κινεῖται· εἰ μή τις ἴσως εἴποι, ὅτι ἔσται περίοδος, καὶ πεπληρωμένων τῶν γενῶν τῆς κινήσεως, ἐπανακάμψει· ἵνα εἰ τὸ κατὰ τόπον κινοῦν ἀλλοιοῖτο καὶ τὸ ἀλλοιοῦν αὔξοιτο, πάλιν τὸ αὖξον κατὰ τόπον κινοῖτο· ἐκ δὲ τούτου πάλιν τὸ πρότερον ἕπεται, τουτέστιν ὃ κινεῖ

Ε.Υ.Δ της Επ.Π.ΙΙ
ΙΩΑΝΝΙΝΑ 2006

καθ' ἓν εἶδος κινήσεως, κατὰ ταὐτὸ πάλιν κινεῖσθαι, οὐκ ἀμέσως, ἀλλ' ἐμμέσως. Καταλείπεται τοίνυν ἀνάγκην εἶναι τιθέναι τι πρῶτον, ὃ ὑπ' οὐδενὸς ἔξωθεν κινεῖται.

Τούτων τῶν λόγων τὰς προχωρήσεις δύο φαίνονται ποιεῖν ἀσθενεῖς· πρῶτον, ὅτι προΐασιν ἐκ τοῦ τιθέναι τὴν κίνησιν ἀΐδιον· ὅπερ οὐκ ἔστιν ἀληθὲς τοῖς καθολικοῖς. Ἀλλὰ ῥητέον, ὅτι εἰ καὶ ἡ δραστικωτάτη μέθοδος πρὸς τὸ δεῖξαι εἶναι Θεὸν ἐκ τοῦ ὑποκεῖσθαι τὴν κίνησιν ἀΐδιον ἐστίν, ἀλλὰ καὶ μὴ ὑποκειμένης, οὐδὲν ἧττον φανερὸν τὸ εἶναι Θεόν. Εἰ γὰρ ὁ κόσμος καὶ ἡ κίνησις ἤρξατο, ἀνάγκη κεῖσθαί τι αἴτιον, ὅπερ ἐκ νέου τὸν κόσμον καὶ τὴν κίνησιν ἂν προαγάγοι, ἐπειδὴ πᾶν τὸ ἐκ νέου γινόμενον, ἀπό τινος ποιοῦντος ἀνάγκη τὴν αἰτίαν λαβεῖν, οὐδενὸς ἑαυτὸ δυναμένου παράγειν ἐκ δυνάμεως εἰς ἐνέργειαν, ἢ ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι. Δεύτερον, ὅτι ὑπόκειται ἐνταῦθα τὸ πρώτως κινούμενον ἤτοι τὸ οὐράνιον σῶμα εἶναι κινούμενον ἐξ αὑτοῦ, ᾧ ἕπεται τὸ εἶναι ἔμψυχον· ὅπερ ὑπὸ πολλῶν ἥκιστα συγχωρεῖται. Ἀλλ' εἰ μὴ κινεῖται ἐξ αὑτοῦ, κινεῖται ἀμέσως ὑπὸ παντελῶς ἀκινήτου.

Πρόεισι δὲ καὶ ἑτέρᾳ μεθόδῳ ἐν δευτέρῳ τῶν **Μετὰ τὰ φυσικά**· ἐν τοῖς τεταγμένοις ποιητικοῖς αἰτίοις, τὸ πρῶτον, αἴτιον τοῦ μέσου, καὶ τοῦ ἐσχάτου τὸ μέσον, εἴτε ἕν, εἴτε πλείω εἴη τὰ μέσα· ἀναιρουμένης δὲ τῆς αἰτίας, ἀναιρεῖται καὶ τὰ ὧν ἐστιν ἡ αἰτία· οὐκοῦν ἀναιρεθέντος τοῦ πρώτου, τὸ μέσον αἴτιον εἶναι οὐ δύναται. Ἀλλ' εἰ ἐπ' ἄπειρον προχωροῦμεν ἐν τοῖς ποιητικοῖς αἰτίοις, οὐδὲν ἔσται πρῶτον αἴτιον· οὐκοῦν οὐδὲ μέσα· ὃ ψεῦδος. Ἀνάγκη ἄρα τιθέναι πρώτην αἰτίαν ποιητικήν, ἥ ἐστιν ὁ Θεός.

Ἔτι, ἐν δευτέρῳ τῶν **Μετὰ τὰ φυσικά**, δείκνυσιν ὅτι τὰ μάλιστα ἀληθῆ μάλιστα | ἐστὶν ὄντα· καὶ ἐν τετάρτῳ τῶν αὐτῶν, ὅτι ἐστί τι μά- f. 14v
λιστα ψεῦδος· ἐπειδὴ ὁρῶμεν δυοῖν ψευδῶν θάτερον μᾶλλον τοῦ ἑτέρου εἶναι ἀληθές, ἐγγύτητί τινι πρὸς τὸ ἁπλῶς τε καὶ μάλιστα ἀληθές. Ἐκ τούτων οὖν ἀνάγκη συμπεραίνειν εἶναί τι περαιτέρω, ὃ μάλιστα ἐστὶν ὄν· τοῦτο δὲ φαμὲν εἶναι Θεόν.

Κατὰ δὲ τὸν μακάριον Ἰωάννην τὸν ἐκ Δαμασκοῦ, ἀδύνατον ἂν ἦν ἐναντία τινὰ καὶ διαφωνοῦντα εἰς μίαν τάξιν ὁμολογεῖν ἢ ἀεί, ἢ ὡς ἐπὶ τὸ πλεῖστον, εἰ μὴ διοικήσει πάντως ἑτέρου τινός, ἐξ οὗ πᾶσι καὶ ἑκάστοις ἀποδοθήσεται εἴς τι τέλος ὡρισμένον τείνειν. Ἀλλ' ἐν τῷ κόσμῳ ὁρῶμεν πολλὰ τῶν πραγμάτων, διαφόρων ὄντα φύσεων, εἰς μίαν συνιόντα τάξιν οὐ πάντως οὐδ' ἀπὸ τύχης, ἀλλ' ἢ ἀεί, ἢ καὶ ἐπὶ τὸ πλεῖστον. Ἀνάγκη ἄρα εἶναί τινα, οὗ τῇ προνοίᾳ ὁ κόσμος διοικηθήσεται· ὃν φαμὲν εἶναι Θεόν.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006